# ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
# Η ΠΡΟΣ
# ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ

1 Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ, καὶ
Τιμόθεος ὁ ἀδελφός, Φιλήμονι τῷ ἀγαπητῷ
καὶ συνεργῷ ἡμῶν,
2 καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ
συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ᾽ οἶκόν σου
ἐκκλησίᾳ·
3 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς
ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

4 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε μνείαν
σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,
5 ἀκούων σου τὴν ἀγάπην, καὶ τὴν πίστιν ἣν
ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας
τοὺς ἁγίους,
6 ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς
γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν
ὑμῖν εἰς Χριστὸν Ἰησοῦν.
7 *Χαρὰν γὰρ ἔχομεν πολλὴν καὶ
παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ
σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ,
ἀδελφέ.

8 Διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων
ἐπιτάσσειν σοι τὸ ἀνῆκον,

---

* **1:7** Χαρὰν ¦ Χάριν ST

9 διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ,
τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ
δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ.
10 Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν
ἐγέννησα ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον,
11 τόν ποτέ σοι ἄχρηστον, νυνὶ δὲ σοὶ καὶ
ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα·
12 σὺ δὲ αὐτόν, τοῦτ᾽ ἔστι τὰ ἐμὰ σπλάγχνα,
προσλαβοῦ·
13 ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν,
ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ
εὐαγγελίου·
14 χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα
ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν
σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον.
15 Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν,
ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς·
16 οὐκέτι ὡς δοῦλον, ἀλλ᾽ ὑπὲρ δοῦλον,
ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ
μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ.

17 Εἰ οὖν ἐμὲ ἔχεις κοινωνόν, προσλαβοῦ
αὐτὸν ὡς ἐμέ.
18 Εἰ δέ τι ἠδίκησέ σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ
ἐλλόγει·
19 ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ
ἀποτίσω· ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι
προσοφείλεις.
20 Ναί, ἀδελφέ, ἐγώ σου ὀναίμην ἐν Κυρίῳ·
ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ.

21 Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι,
εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις.

22 Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν· ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.
23 Ἀσπάζονταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ,
24 Μάρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.
25 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.
Πρὸς Φιλήμονα ἐγράφη ἀπὸ Ῥώμης διὰ Ὀνησίμου οἰκέτου.

# Η Καινή Διαθήκη
## The Greek Textus Receptus New Testament with manuscript annotations by Adam Boyd

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Manuscript comparison footnotes dedicated to the Public Domain by Adam Boyd. The Greek Textus Receptus New Testament is firmly in the Public Domain due to its age.

2025-04-18

---

PDF generated using Haiola and XeLaTeX on 18 Apr 2025 from source files dated 18 Apr 2025
14938461-2b7e-53fc-be03-d6f4d53f0f00